ιβʹ ᾿Ερ. — ᾿Ορθῶς, ἔφην, ἐδίδαξας. Καὶ τὸ ἐν εἴδει ὦφθαι τὸ ἅγιον καὶ ζωοποιὸν πνεῦμα πῶς δεῖ νοεῖν; ἀίδιος γὰρ καὶ ἀμετάβολος, ὡς εἶπας. Τίς οὖν οἶδεν οἵα ὑπάρχει ἡ μακαρία φύσις;

᾿Απ. — Καὶ τοῦτο, ἔφη, τῆς ἐπὶ τῇ φωνῇ τοῦ Πατρὸς προσήκει θαυμάζειν θεωρίας· οὐ γὰρ τοῦ Πνεύματος ἡ ἀόρατος καὶ ἀμετάβλητος φύσις εἰς τὸ τῆς περιστερᾶς μετεβλήθη εἶδος, ἵν' οὕτως ὡς ἤθελεν ὁραθῇ· ἀλλ' ὁ τούτου καταξιωθεὶς τοῦ κάλλους τοῦτο εἶδεν, ἐν ᾧπερ ὁραθῆναι ἀνθρώπῳ τὸ θεῖον Πνεῦμα καταβαῖνον ἐκ τῶν οὐρανῶν ἠθέλησεν, ὥστε βουλήσει, ἔφη, ἐδείχθη τῷ θεασαμένῳ τὸ εἶδος· οὐ μὴν τὴν ἄρρητον καὶ ἀπερινόητον φύσιν ἐκείνην φαίη τις ἂν εἰς ἐκεῖνο τὸ μέτριον ὡς κατὰ συστολὴν σχηματισθεῖσαν τεθεωρηκέναι εἶδος. Τοῦτον τοίνυν, ἔφη, τὸν τρόπον ὡς ἐν ὁράσει εἴδους εἶδον καὶ οἱ προφῆται τὸν Θεόν· οὐ γὰρ αὐτὸς εἰς σχῆμα μεταβαλλόμενος αὐτοῖς ἐφαίνετο, ἀλλ' αὐτοὶ ὡς ἐν εἴδει δόξης ἑώρων τὸν ἀσχημάτιστον, βουλήσεως αὐτοῖς οὐ φύσεως ἐν εἴδει δεικνυμένης· ἡ γὰρ τῆς βουλήσεως ἐνέργεια ὡς εἶδος αὐτοῖς ἐν ταῖς ὀπτασίαις δηλαδὴ δόξης ἐφαίνετο, διὰ τὸν ἐν εἴδει βουλῆς ἑαυτὸν ὅλως ὀφθῆναι θελήσαντα.

ιγʹ ᾿Ερ. — Πῶς οὖν ἄρα ὁραθήσεται, ἔφην, ἐν τῷ ἀφθάρτῳ αἰῶνι ἀνθρώποις Θεός;

᾿Απ. — ᾿Αφθαρσία μέν, ἔφη, σώματος ἐγγὺς εἶναι κατὰ τὸν ἀληθῆ λόγον ἄνθρωπον ποιεῖ Θεοῦ· οὕτως δὲ καὶ τότε ὁραθήσεται ἀνθρώποις Θεός, ὡς δύναται πάλιν ἄνθρωπος ἰδεῖν Θεόν.